# Burton & Goodspeed # 83: The Feeding of the Four Thousand

| Matthew 15:32-39 | Mark 8:1-10 |
| --- | --- |
| **Matthew 15:32** | **Mark 8:1** |
| | Ἐν ἐκείναις ταῖς ἡμέραις |
| | πάλιν πολλοῦ ὄχλου ὄντος |
| | καὶ μὴ ἐχόντων τί φάγωσιν, |
| Ὁ δὲ Ἰησοῦς | |
| προσκαλεσάμενος | προσκαλεσάμενος |
| τοὺς μαθητὰς αὐτοῦ εἶπεν, | τοὺς μαθητὰς λέγει αὐτοῖς, |
| Σπλαγχνίζομαι ἐπὶ τὸν | **2** Σπλαγχνίζομαι ἐπὶ τὸν |
| ὄχλον, | ὄχλον, |
| ὅτι ἤδη ἡμέραι τρεῖς | ὅτι ἤδη ἡμέραι τρεῖς |
| προσμένουσίν μοι καὶ | προσμένουσίν μοι καὶ |
| οὐκ ἔχουσιν τί φάγωσιν· | οὐκ ἔχουσιν τί φάγωσιν· |
| καὶ ἀπολῦσαι αὐτοὺς | **3** καὶ ἐὰν ἀπολύσω αὐτοὺς |
| νήστεις οὐ θέλω, μήποτε | νήστεις εἰς οἶκον αὐτῶν, |
| ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. | ἐκλυθήσονται ἐν τῇ ὁδῷ· |
| | καί τινες αὐτῶν ἀπὸ μακρόθεν |
| | ἥκασιν. |
| **33** καὶ λέγουσιν αὐτῷ | **4** καὶ ἀπεκρίθησαν αὐτῷ |
| οἱ μαθηταί, | οἱ μαθηταὶ αὐτοῦ ὅτι |
| Πόθεν ἡμῖν | Πόθεν τούτους δυνήσεταί τις |
| ἐν ἐρημίᾳ | ὧδε |

| | |
|---|---|
| ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι | χορτάσαι ἄρτων |
| | ἐπ’ ἐρημίας; |
| ὄχλον τοσοῦτον; | |
| **34** καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, | **5** καὶ ἠρώτα αὐτούς, |
| Πόσους ἄρτους ἔχετε; | Πόσους ἔχετε ἄρτους; |
| οἱ δὲ εἶπαν, Ἑπτὰ | οἱ δὲ εἶπαν, Ἑπτά. |
| καὶ ὀλίγα ἰχθύδια. | |
| **35** καὶ παραγγείλας τῷ ὄχλῳ | **6** καὶ παραγγέλλει τῷ ὄχλῳ |
| ἀναπεσεῖν ἐπὶ τὴν γῆν | ἀναπεσεῖν ἐπὶ τῆς γῆς· |
| **36** ἔλαβεν τοὺς ἑπτὰ ἄρτους | καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους |
| καὶ τοὺς ἰχθύας καὶ | |
| εὐχαριστήσας ἔκλασεν καὶ | εὐχαριστήσας ἔκλασεν καὶ |
| ἐδίδου τοῖς μαθηταῖς, | ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ |
| | ἵνα παρατιθῶσιν, |
| οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. | καὶ παρέθηκαν τῷ ὄχλῳ. |
| | **7** καὶ εἶχον ἰχθύδια ὀλίγα· |
| | καὶ εὐλογήσας αὐτὰ εἶπεν καὶ |
| | ταῦτα παρατιθέναι. |
| **37** καὶ ἔφαγον πάντες | **8** καὶ ἔφαγον |
| καὶ ἐχορτάσθησαν. | καὶ ἐχορτάσθησαν, |
| καὶ τὸ περισσεῦον τῶν | καὶ ἦραν περισσεύματα |
| κλασμάτων ἦραν | κλασμάτων |
| ἑπτὰ σπυρίδας πλήρεις. | ἑπτὰ σπυρίδας. |
| **38** οἱ δὲ ἐσθίοντες ἦσαν | **9** ἦσαν δὲ |

| | |
|---|---|
| τετρακισχίλιοι ἄνδρες | ὡς τετρακισχίλιοι. |
| χωρὶς γυναικῶν καὶ παιδίων. | |
| **39** Καὶ ἀπολύσας τοὺς ὄχλους | καὶ ἀπέλυσεν αὐτούς. |
| | **10** Καὶ εὐθὺς |
| ἐνέβη εἰς τὸ πλοῖον | ἐμβὰς εἰς τὸ πλοῖον |
| | μετὰ τῶν μαθητῶν αὐτοῦ |
| καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγαδάν. | ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. |

Matthew: 140 – 11 = 129 Mark: 159 – 13 = 146 Identical: 138/275 = 50.18%